«Γι' αὐτό ὁ Πατέρας μέ ἀγαπάει, γιατί ἐγώ θυσιάζω τήν ζωή μου, ὥστε νά τήν ξαναπάρω. Κανείς δέν μοῦ τήν παίρνει, ἀλλά ἐγώ ἀπό μόνος μου τήν προσφέρω. Ἀπό μένα ἐξαρτᾶται νά τήν προσφέρω κι ἀπό μένα ἐξαρτᾶται νά τήν ξαναπάρω. Αὐτήν τήν ἐντολή ἔλαβα ἀπό τόν Πατέρα μου»[23].

❁ γ΄. Ὁ ἅγιος Ἰωάννης ὁ Δαμασκηνός ὁ πρύτανις τῆς θεολογίας διδάσκει ὅτι ὁ Κύριος ἐνῶ ἦταν ἀπηλλαγμένος ἀπό τά διαβλητά πάθη, δηλαδή τῶν ἁμαρ-

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 47

τωλῶν, ἐπέτρεπε στήν ἀνθρώπινη φύση Του νά πάσχει τά ἀδιάβλητα πάθη (κόπος, δίψα, πείνα κ.λπ). Αὐτά ὅμως ἦταν ὑποταγμένα στό ἰσχυρό θέλημά Του καί δέν ἐνεργοῦσαν ὅπως σ' ἐμᾶς πού δέν μποροῦμε νά τά ἐλέγξουμε ἀπόλυτα. Μέ τήν ἄσκηση ἐνισχύουμε τήν θέλησή μας ὥστε νά ἐπιβάλλεται ἐπάνω στήν δύναμη τῶν παθῶν ἀδιάβλητων καί διαβλητῶν.

❁ δ΄. Ἦταν ἀπαλλαγμένος ἀπό τήν ἁμαρτητική ροπή καί ἀναμάρτητος:

«Τέτοιος, λοιπόν, ἀρχιερέας μᾶς χρειαζόταν· ἅγιος, ἄκακος, ἀψεγάδιαστος, χωρίς σχέση μέ τήν ἀνθρώπινη ἁμαρτία, ὁ ὁποῖος ἀνέβηκε ἐπάνω ἀπό τά οὐράνια»[24].

❁ ε΄. Ἦταν ἡ σαρκωμένη σοφία τοῦ Θεοῦ κατά τό:

«Χάρη σ' αὐτόν ὅμως ἐσεῖς βρίσκεστε μέσα στήν πίστη τοῦ Ἰησοῦ Χριστοῦ, ἐκείνου πού ἔγινε ἀπό τόν Θεό σοφία δική μας καί δικαίωση καί ἐξαγιασμός καί ἀπολύτρωση»[25].

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 48

4. Σύμμορφοι τῆς εἰκόνας τοῦ Υἱοῦ.

Τά ἴδια ἰδιώματα ἀποκτοῦν καί οἱ ἅγιοι τοῦ Θεοῦ. Στούς βίους τῶν ἁγίων ἀναφέρεται ὅτι οἱ ἅγιοι ἔλαβαν ἀπό τόν Θεό αὐτά τά χαρίσματα καί τά ἐνήργησαν πρός δόξα καί ἔπαινο τοῦ Δημιουργοῦ Θεοῦ.

«Τούς ἤξερε ἀπό πρίν, καί τούς προόρισε νά γίνουν ὅμοιοι μέ τόν Υἱό του, ἔτσι πού ὁ Χριστός νά εἶναι ὁ πρῶτος ἀνάμεσα σ' ἕνα πλῆθος ἀπό ἀδέλφια»[26].

«Ὅλοι, ἐμεῖς, λοιπόν, χωρίς κάλυμμα στό πρόσωπο, κοιτάζουμε σέ καθρέφτη τήν λαμπρότητα τοῦ Κυρίου καί μεταμορφωνόμαστε σ' αὐτήν τήν λαμπρή εἰκόνα Του, βαδίζοντας ἀπό δόξα σέ δόξα μέ τήν ἐνέργεια τοῦ Κυρίου, πού εἶναι τό Πνεῦμα»[27].

«Καί ντυθήκατε τόν καινούργιο ἄνθρωπο, πού ἀνανεώνεται συνεχῶς σύμφωνα μέ τήν εἰκόνα τοῦ Δημιουργοῦ του, ὥστε μέ τήν νέα ζωή του νά φτάσει στήν τέλεια γνώση τοῦ Θεοῦ»[28].

«Καὶ ὅπως φορέσαμε σάν ροῦχο τήν ὁμοιότητα τοῦ χωματένιου, δηλαδή τήν φθορά καί τόν θάνατό του, ἔτσι θά φορέσουμε καί τήν ὁμοιότητα τοῦ ἐπουρανίου, δηλαδή τήν ἀνάσταση, τήν ἀφθαρσία καί τήν ἀθανασία του»[29].

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 49

5. Ὁ ἐν Χριστῷ ἄνθρωπος.

Ὁ Κύριός μας Ἰησοῦς Χριστός μέ ὅλα ὅσα δίδαξε καί ἔπραξε ἔδωσε τήν δυνατότητα στόν ἄνθρωπο νά ἐπανέλθει στήν πρό τῆς πτώσεως κατάστασή του, στό ἀρχαῖο κάλλος ἀποβάλλοντας τήν δυσείδεια (ἀσχήμια) τῆς ὑπάρξεώς του. Ὁ Κύριος τήν ἀνόρθωση καί ἀποκατάσταση τοῦ τραυματισμένου ἀπό τήν ἁμαρτία ἀνθρώπου ὀνόμασε ἀναγέννηση συνομιλώντας μέ τόν νυκτερινό ἐπισκέπτη Του καί μαθητή Του τόν Νικόδημο:

«Ὁ Ἰησοῦς τοῦ ἀπάντησε: Σέ βεβαιώνω πώς ἄν κανείς δέν γεννηθεῖ ἀπό τό νερό κι ἀπό τό Πνεῦμα, δέν μπορεῖ νά μπεῖ στήν βασιλεία τοῦ Θεοῦ. Ὅ,τι γεννιέται ἀπό τόν ἄνθρωπο εἶναι ἀνθρώπινο, ἐνῶ ὅ,τι γεννιέται ἀπό τό Πνεῦμα εἶναι πνευματικό. Μήν ἀπορεῖς πού σοῦ εἶπα, πρέπει νά γεννηθεῖτε ξανά. Ὁ ἄνεμος πνέει ὅπου θέλει· ἀκοῦς τήν βοή του ἀλλά δέν ξέρεις ἀπό ποῦ ἔρχεται καί ποῦ πηγαίνει· ἔτσι συμβαίνει καί μέ καθέναν πού γεννιέται ἀπό τό Πνεῦμα»[30].

Ὁ ἀπόστολος Παῦλος διδάσκει, ὅτι ὁ ἄνθρωπος καί ἰδιαίτερα ὁ πιστός κατάγεται κατά τήν φυσική του ζωή ἀπό τόν Ἀδάμ, ἀλλά αὐτή ἡ ζωή εἶναι θνητή καί κατά τήν πνευματική του κατάσταση ἀπό τόν Κύριο πού ἀποκαλεῖ δεύτερον Ἀδάμ. Αὐτή ἡ ζωή εἶναι ἀθάνατη.

«Πραγματικά, ἔτσι διδάσκει καί ἡ Γραφή: Στόν Ἀδάμ, τόν πρῶτο ἄνθρωπο, δόθηκε ἡ φυσική ζωή. Ἀντίθετα, στόν ἔσχατο Ἀδάμ, τόν Χριστό, δόθηκε τό Πνεῦ-

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 50

μα, καί ἔγινε πηγή ζωῆς. Πρῶτα ἔρχεται τό φυσικό, ἔπειτα τό πνευματικό, ὄχι τό ἀντίστροφο. Ὁ πρῶτος ἄνθρωπος προέρχεται ἀπό τήν γῆ καί εἶναι χωματένιος. Ὁ δεύτερος ἄνθρωπος, ὁ Κύριος, προέρχεται ἀπό τόν οὐρανό. Ὅπως εἶναι ὁ Ἀδάμ, πού εἶναι χωματένιος, ἔτσι εἶναι καί ὅσοι ἀνήκουν στόν παλαιό κόσμο· καί ὅπως εἶναι ὁ ἐπουράνιος Κύριος τέτοιοι θά εἶναι καί οἱ ἄνθρωποι πού ἀναγεννῶνται ἀπό Αὐτόν καί γίνονται ἐπουράνιοι. Καί ὅπως φορέσαμε σάν ροῦχο τήν ὁμοιότητα τοῦ χωματένιου, ἔτσι θά φορέσουμε καί τήν ὁμοιότητα τοῦ ἐπουράνιου»[31].

Ἡ ἀναγέννηση τοῦ ἀνθρώπου πού εἶναι ἔργο τοῦ ἁγίου Πνεύματος συντελεῖται, ὅταν ὁ ἄνθρωπος μετανοήσει, ἀρνηθεῖ καί ἀποστραφεῖ τήν ὁδό τῆς ἁμαρτίας, πιστέψει στόν Κύριο Ἰησοῦ Χριστό, συμμετέχει στά μυστήρια τῆς Ἐκκλησίας καί ἀγωνίζεται νά τηρεῖ τίς ἐντολές τοῦ Θεοῦ, πού ἐκφράζουν τό ἅγιο θέλημά Του γιά νά διατηρηθεῖ στήν κατάσταση τῆς σωτηρίας, τῆς ζωῆς, τῆς δόξας καί τῆς θείας υἱοθεσίας.

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 51

6. Ἡ ἐπάνοδος στό ἀρχαῖο κάλλος.

Ὁ ἀναγεννημένος ἄνθρωπος θά ἐπανακτήσει τό ἀρχαῖο κάλλος τῆς ὑπάρξεώς του καί ἐπειδή εἶναι ἑνωμένος μέ τόν Ἰησοῦ Χριστό, θά δοξασθεῖ μαζί Του ὡς θεός στήν αἰώνια βασιλεία τοῦ Θεοῦ.

Γιά τήν ἀποκατάσταση τῆς ἀνθρώπινης φύσεως μιλάει ὁ εὐαγγελιστής Μᾶρκος πού λέει ὅτι:

«Ἀφοῦ τούς εἶπε αὐτά ὁ Κύριος, ἀναλήφθηκε στόν οὐρανό καί κάθισε στά δεξιά τοῦ Θεοῦ»[32].

Διευκρινίζουμε, ὅτι ἡ ἀνθρώπινη φύση τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ δοξάσθηκε καί κάθησε στόν θεϊκό θρόνο μαζί Του, διότι ὡς Υἱός τοῦ Θεοῦ, καί Θεός, δέν στερήθηκε τήν δόξα τῆς θείας φύσεώς Του. Ὡς ἄνθρωπος ἦταν στήν γῆ καί συγχρόνως ὡς Θεός στόν οὐρανό κατά τό

«Κανένας, βέβαια, δέν ἀνέβηκε στόν οὐρανό παρά μόνο ὁ Υἱός τοῦ Ἀνθρώπου, πού κατέβηκε ἀπό τόν οὐρανό, καί πού εἶναι στόν οὐρανό»[33].

Ὁ ἀπόστολος Παῦλος διδάσκει ὅτι ὁ Κύριος Ἰησοῦς Χριστός κατά τήν καθολική ἀνάσταση ὅλων τῶν ἀνθρώπων πού ἔζησαν καί πέθαναν, θά παραλάβει μαζί Του γιά νά δοξάσει ὅλους ὅσους πίστεψαν σ' Αὐτόν:

«Γιατί, ἀφοῦ πιστεύουμε ὅτι ὁ Ἰησοῦς πέθανε κι ἀναστήθηκε, ἔτσι κι ὁ Θεός αὐτούς πού πέθαναν πιστεύοντας στόν Ἰησοῦ θά τούς ἀναστήσει γιά νά ζήσουν μαζί του» κατά τήν ὑπόσχεσή Του[34].

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 52

«Κι ὅταν πάω καί σᾶς ἑτοιμάσω τόπο, πάλι θά ἔρθω καί θά σᾶς πάρω κοντά μου, ὥστε ὅπου εἶμαι ἐγώ νά εἶστε κι ἐσεῖς»[35].

Ρητορικώτατα ὁ ἅγιος Ἐπιφάνιος ἐπίσκοπος Κωνσταντίας Κύπρου στόν λόγο του *«Τῷ ἁγίῳ καί μεγάλῳ Σαββάτῳ»* πλέκει τόν διάλογο τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, πού κατῆλθε στόν Ἅδη μέ τόν πρωτόθνητο Ἀδάμ στόν ὁποῖο ἐκφράζει τήν διδασκαλία τῆς Ἐκκλησίας γιά τό θέμα μας:

«Σήκω, λοιπόν, ἄς φύγουμε ἀπό ἐδῶ. Σέ ἔβγαλε ὁ ἐχθρός ἀπό τόν γήϊνο παράδεισο. Σέ ἀποκαθιστῶ, ὄχι πλέον στόν παράδεισο, ἀλλά σέ οὐράνιο θρόνο. Σέ ἐμπόδισα νά φᾶς ἀπό τό τυπικό δέντρο τῆς ζωῆς, τώρα ὅμως ἑνώθηκα μαζί σου ἐγώ πού εἶμαι ἡ Ζωή. Διέταξα τά Χερουβίμ νά σέ φρουροῦν σάν δοῦλο. Τώρα κάνω τά Χερουβίμ νά σέ προσκυνήσουν ὡς Θεό. Κρύφτηκες τότε ἀπό τόν Θεό γιατί ἦσουν γυμνός, νά ὅμως τώρα πού ἔκρυψες μέσα σου γυμνό τόν Θεό. Ντύθηκες τόν δερμάτινο χιτώνα τῆς ντροπῆς, ἀλλά ἐγώ ὄντας Θεός ντύθηκα τόν ματωμένο χιτώνα τῆς σάρκας. Γι' αὐτό σηκωθεῖτε, ἄς φύγουμε ἀπό ἐδῶ, ἀπό τόν θάνατο στήν ζωή, ἀπό τήν φθορά στήν ἀφθαρσία, ἀπό τό σκοτάδι στό αἰώνιο φῶς. Σηκωθεῖτε, νά φύγουμε ἀπό ἐδῶ, ἀπό τήν ὀδύνη στήν εὐφροσύνη, ἀπό τήν δουλεία στήν ἐλευθερία, ἀπό τήν φυλακή στήν ἄνω Ἰερουσαλήμ, ἀπό τά δεσμά στήν ἄνεση, ἀπό τήν σκλαβιά στήν τρυφή τοῦ παραδείσου, ἀπό τήν γῆ στόν οὐρανό.

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 53

Γι' αὐτό τόν σκοπό πέθανα καί ἀναστήθηκα γιά νά γίνω Κύριος νεκρῶν καί ζωντανῶν. Σηκωθεῖτε, νά φύγουμε ἀπό ἐδῶ, διότι ὁ οὐράνιος Πατέρας μου περιμένει τό χαμένο πρόβατο. Τά ἐννενήκοντα ἐννιά πρόβατα τῶν Ἀγγέλων περιμένουν τόν σύνδουλό τους Ἀδάμ πότε νά ἀναστηθεῖ, καί πότε νά ἀνέβει, καί πότε νά ἐπιστρέψει πρός τόν Θεό. Ὁ Χερουβικός θρόνος ἔχει ἑτοιμαστεῖ. Αὐτοί πού θά σᾶς ἀνεβάσουν εἶναι γρήγοροι καί βιάζονται. Ὁ χῶρος τοῦ γάμου ἔχει προετοιμαστεῖ. Τό δεῖπνο εἶναι στρωμένο. Οἱ αἰώνιες σκηνές καί οἱ τόποι διαμονῆς εἶναι ἕτοιμοι. Ἔχουν ἀνοιχτεῖ οἱ θησαυροί τῶν ἀγαθῶν, ἔχει ἑτοιμαστεῖ ἡ βασιλεία τῶν οὐρανῶν πρίν ἀπό αἰῶνες. Τά ἀγαθά πού περιμένουν τόν ἄνθρωπο δέν τά ἔχει δεῖ μέχρι τώρα μάτι καί αὐτιά δέν ἄκουσαν γι' αὐτά, καί δέν τά ἔβαλε νοῦς ἀνθρώπου»[36].

Ζώντας στήν Ἐκκλησία ὁ ἄνθρωπος γίνεται νέα δημιουργία, νέα κτίση, νέος ἄνθρωπος, νέα ὕπαρξη.

«Ὁ πάλαι μέν ἐκ μή ὄντων πλάσας με καὶ εἰκόνι σοι θείᾳ τιμήσας, παραβάσει ἐντολῆς δὲ πάλιν με ἐπιστρέψας εἰς γῆν ἐξ ἧς ἐλήφθην, εἰς τὸ καθ' ὁμοίωσιν ἐπανάγαγε τὸ ἀρχαῖον κάλλος ἀναμορφώσασθαι»[37].

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 54

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 55



Ἐπίλογος

«Πάτερ ἀγαθέ, ἐμακρύνθην ἀπὸ σοῦ· μὴ ἐγκαταλίπῃς με μηδὲ ἀχρεῖον δείξῃς τῆς βασιλείας σου· ὁ ἐχθρὸς ὁ παμπόνηρος ἐγύμνωσέ με καί ἥρέ μου τὸν πλοῦτον· τῆς ψυχῆς τὰ χαρίσματα ἀσώτως διεσκόρπισα· ἀναστὰς οὖν, ἐπιστρέψας πρὸς σέ, ἐκβοῶ· Ποίησόν με ὡς ἕνα τῶν μισθίων σου, ὁ δι᾽ ἐμὲ ἐν σταυρῷ τὰς ἀχράντους σου χεῖρας ἁπλώσας, ἵνα τοῦ δεινοῦ θηρὸς ἀφαρπάσῃς με καὶ τὴν πρώτην καταστολὴν ἐπενδύσῃς με ὡς μόνος πολυέλεος»[38].

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 56

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 57



Παράρτημα

1. *«Καὶ εἶπεν ὁ Θεός· ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ τῶν κτηνῶν καὶ πάσης τῆς γῆς καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς»* (Γενέσεως α΄ 26).

2. Πρὸς Ρωμαίους η΄ 22.

3. *«Τί δηλοῖ, "ὅτι καὶ αὕτη ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας" καὶ ἑξ.*

«Ἐδούλευσεν ἡ κτίσις τῷ ἀνθρώπῳ [οὐχ ὡς ἀξίῳ], ἥλιος καὶ σελήνη, καὶ ἄστρα καὶ θάλασσα καὶ γῆ καὶ τὰ ἐν αὐτοῖς· οὐχ ὡς ἀξίῳ δέ (καὶ γὰρ παραβάτης ἦν καὶ ὑπόδικος), ἀλλὰ τοῦ Θεοῦ δουλεύειν προστάξαντος, ὡς ἂν μὴ ἐξυβρισθῇ διὰ πάντων ἡ εἰκών, εἰ καὶ παρέβη. Πάσης τοίνυν τῆς κτίσεως στασιαζούσης, ὁ Θεὸς κελεύει τῇ κτίσει μὴ ἀφηνιᾷν, ἀλλὰ παρέχειν μὲν τὸν ἥλιον τὴν ἑαυτοῦ ἀκτῖνα, τὴν γῆν τοὺς καρπούς, τὴν θάλασσαν ἰχθῦς καὶ τὰς ἐμπορίας· καὶ ἕκαστον

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 58

τῶν κτισμάτων, τὴν ἐξ ἑαυτῶν χρείαν καὶ ὠφέλειαν τοῖς ἀνθρώποις. Ταύτην ἀπογυμνῶν ὁ ἀπόστολος τὴν ἔννοιαν φάσκει· «Ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχεται· τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα ἐπ' ἐλπίδι ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ» οἷον τί λέγω· Ὡς εἶδεν ὁ Θεὸς τὸν ἄνθρωπον ἐκπεσόντα, καὶ τὴν κτίσιν ἀνανεύουσαν πρὸς ὑπηρεσίαν τοῦ ἡμαρτηκότος, ἐχαλίνωσεν αὐτὴν καὶ μὴ θέλουσαν, καὶ ἐκέλευσεν ὑπηρετεῖν ὡς πρότερον, ἡνίκα τὸ βασιλικὸν ἑαυτῷ καὶ ἀρχικὸν τὴν ἐντολὴν φυλάττων συνδιέσωζεν· ᾐσχύνετο γὰρ ἡ κτίσις τὸν αἰχμάλωτον τῇ παραβάσει Κύριον ἐπιγράφεσθαι, καὶ ἐξυπηρετεῖν αὐτῷ, τῆς ἁμαρτίας αὐτὸν ὁρῶσα δοῦλον γενόμενον· ἀλλ' ἐκέλευσεν ὁ Κτίστης μὴ ἐξαρνεῖσθαι τὸν παραβάτην, ἀλλ' ἐπιδεικνύναι τοῦ κοινοῦ Δεσπότου τὴν ἄφθονον χάριν καὶ τὸ τῆς εὐεργεσίας ἀμετάθετον· ἐπαγγειλάμενος καὶ τῇ κτίσει ὅτι περ ἀνακαινιζομένου καὶ ἐλευθερωμένου τοῦ φθαρέντος καὶ αἰχμαλωτισθέντος ἀνθρώπου ἀνακαινισθήσεται καὶ αὐτή· ὡσανεὶ ἔλεγεν· Ἔπεσεν ἡ εἰκών, καὶ ὠλίσθησεν διὰ τὴν παράβασιν καὶ φθείρεται διὰ τὴν παρακοήν· ἀνάσχου δουλεῦσαι τῇ τοῦ φθαρέντος φθορᾷ, ἵνα ὅταν αὐτὸν ἀνακαινίζω τὴν ἐμὴν εἰκόνα, τὸν φθαρέντα ἄνθρωπον, σὺν αὐτῷ καί σέ τὴν κτίσιν ἀνακαινίσω καὶ σύνθρονον αὐτοῦ τῆς δόξης ποιήσω· συγκατεσπάσθης αὐτοῦ τῇ ταλαιπωρίᾳ, συνανα-

στήσῃ τῇ δόξῃ. Τί δέ ἐστι τὸ τὴν κτίσιν φεύγειν τὴν τοῦ ἀνθρώπου δεσποτείαν; Λέγει γάρ· «Τῇ ματαιότητι ἡ κτίσις οὐχ ἑκοῦσα ὑπετάγη». Ποίᾳ ματαιότητι; Ἀφ' οὗ ἂν ἐκτραπῇ ὁ ἄνθρωπος τοῦ Θεοῦ, ματαιότης καλεῖται. Ἄκουσον ψάλλοντος Δαβίδ· «Πλὴν τὰ σύμπαντα ματαιότης πᾶς ἄνθρωπος ζῶν». Πᾶς ἄνθρωπος μάταιός ἐστιν ὁ τὸν Θεὸν καταλιμπάνων καὶ μάταια μεταδιώκων. Ἔστησεν ὁ Θεὸς ἀγγέλους κατὰ τὰ κλίματα τῆς οἰκουμένης ἕνα ἕκαστον ἐπιτροπεύειν,

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 59

ὡς καὶ Μωϋσῆς λέγει, ἑνὸς ἑκάστου ἔθνους· ἔστησε δέ, ἵνα τὴν ἄψυχον κτίσιν χαλινώσωσιν, ἥλιον καὶ σελήνην, καὶ θάλασσαν, καὶ γῆν καὶ τὰ ἐν αὐτοῖς ὑπηρετεῖν τῇ τοῦ ἀνθρώπου ἀπολαύσει. Πάλιν οἱ ἄγγελοι ἐτρύχοντο ὑπηρετούμενοι ἀναξίοις καὶ δίκης ἐνόχοις ἀνθρώποις· καὶ μάλιστα ὁρῶντες αὐτοὺς τὴν Δεσποτικὴν ἀξίαν τοῖς εἰδώλοις ἀνάπτοντας καὶ ἀνιεροῦντας· ἔφερεν ἡ γῆ τὸν οἶνον, καὶ οἱ βωμοὶ τὰς σπονδὰς ἐδέχοντο· τοὺς ἄλλους καρποὺς καὶ τοῖς εἰδώλοις ἀνετίθεντο· διὰ τοῦτο ἐδυσφόρουν οἱ ἄγγελοι, τὰ μὴ ὄντα ὁρῶντες ἀντὶ τοῦ ὄντος τιμώμενα· ἐντεῦθεν λέγεται καὶ τὸ ἕτερον ζήτημα, τὸ εἰς τὸν προφήτην ἀναφερόμενον· «Ἦλθε πρὸς αὐτόν, φησίν, ὁ ἄγγελος Γαβριήλ, καὶ λέγει αὐτῷ· Δανιήλ, ὁ δοῦλος τοῦ Θεοῦ, ἀφ' ἧς ἡμέρας προέθου κακῶσαι τὴν ψυχήν σου ἔναντι Κυρίου, εἰσηκούσθη ἡ δέησίς σου, καὶ ἀπεστάλην ἀπαγγεῖλαί σοι τὰ ῥήματα ταῦτα ἀλλ' ὁ ἄρχων τῆς βασιλείας Περσῶν ἀντέστη μοι, εἰ μὴ Μιχαήλ, ὁ ἄρχων τοῦ ἔθνους ὑμῶν, ἦλθεν εἰς βοήθειαν». Ἀπορήσειε γὰρ ἄν τις, εἰ ὁ τῆς Περσίδος ἐπιτροπεύων ἄγγελος παρὰ Θεοῦ ἐπιτροπεύειν τέτακται, ὡσαύτως καὶ ὁ Γαβριὴλ, ἀνακομίσων τὸν Ἰσραὴλ τῆς αἰχμαλωσίας παρὰ Θεοῦ ἀπέσταλται, πῶς αὐτῷ τῶν Περσῶν ὁ ἄρχων ἀνθίστατο; Λυθείη δ' ἂν τὸ διαπορούμενον ὧδε· ὁ κόσμος εἰδωλολατρείας ἐπεπλήρωτο, οἱ δὲ ἄγγελοι οἱ ἐφεστῶτες τῶν ἐθνῶν, ἠγανάκτουν καὶ ἐθλίβοντο· αἰχμάλωτος δὲ Δανιὴλ εἰς Βαβυλῶνα μετὰ τῶν ὁμοφύλων ἀπαχθεὶς τὴν θεογνωσίαν ἐκήρυττεν· ὡσαύτως καὶ οἱ τρεῖς παῖδες, οὓς τὸ πῦρ εἰς ἱλαρὰς αὔρας τὴν καυστικὴν δύναμιν ἀμεῖψαν ἀνέψυχε· διὸ καὶ πολλοὺς τῆς εἰδωλικῆς μεταστήσαντες πλάνης θεοσεβεῖν παρεσκεύασαν. Ὁ οὖν τῆς ἀρχῆς τῶν Περσῶν ἐφεστηκὼς ἄγγελος ἔχαιρεν ὁρῶν ἐν τοῖς αὐτοῦ μέρεσι τὸν Θεὸν ἀντὶ τῶν εἰδώλων λατρευόμενον. Τὸν Ναβουχοδονόσορ ἑώρα ἀντὶ τοῦ καταναγκάζειν θύειν εἰδώλοις, καὶ ἐσχάταις τοὺς μὴ πειθομένους ὑποβάλλειν τιμωρίαις, λαμπρῶς θεολογοῦντα καὶ λέγοντα· «Σεδράχ, Μισάχ,

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 60

Ἀβδεναγώ, οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου» καὶ πολλὰ τοιαῦτα. Ἐπεὶ οὖν ὁ μακάριος Δανιὴλ ἐδεῖτο τοῦ Θεοῦ, πληρωθέντων τῶν ἑβδομήκοντα ἐτῶν, τῶν ἐπὶ τῇ αἰχμαλωσίᾳ διορισθέντων, ἀναγαγεῖν τῆς αἰχμαλωσίας τὸν Ἰσραήλ, ἀπεστάλη δὲ Γαβριὴλ μηνῦσαι αὐτῷ τὴν ἀνάῤῥυσιν, ἀνθίσταται τῷ Γαβριὴλ ὁ τῆς Περσικῆς ἀρχῆς ἐπιστάτης λυπούμενος, ὅτι πάλιν ἡ γῆ, ἧς ἐπεστάτει, τῶν διδασκάλων τῆς εὐσεβείας ἐκεῖθεν ἀνακομισθέντων, εἰς τὴν προτέραν ἀναστρέψει ἀσέβειαν καὶ πλάνην· ἀνθίστατο δὲ οὐ μαχόμενος, ἀλλὰ δικαιολογούμενος· τίς ἡ σπουδή, λέγων, τῆς ἀνόδου; τὴν οἰκείαν οἰκῶν πατρίδα ὁ Ἰσραὴλ καὶ εὐπαθῶν εἰς εἰδωλολατρείαν πολλάκις ἐξώλισθεν· νῦν δὲ οὐ καθαρῶς εὐσεβεῖ μόνον, ἀλλὰ καὶ ὑπεραθλεῖ τῆς εὐσεβείας, καὶ πολλῶν τῶν πεπλανημένων πρὸς τὸν ἀληθινὸν ἐπιστρέφουσι Θεόν. Ὅτε οὖν καὶ τοῖς τὴν χάριν δεχομένοις οὐδὲν κατὰ ψυχὴν λυσιτελέστερον ἐπακολουθεῖ, καὶ τοὺς εὐσεβεῖν δι' αὐτοὺς ἀρξαμένους τὸ ἔσχατον κακόν, ἡ δυσσέβεια, πάλιν ὑποχειρίους ποιεῖ, πόσον ἦν ἄμεινον καὶ τὸν Ἰσραὴλ τέως τῆς αἰχμαλωσίας μὴ ἀναγαγεῖν, καὶ τοὺς ἄρτι πρὸς τὸ φῶς ἀναβλέψαντας τῆς θεογνωσίας ἐν τῇ αὐτῇ συντηρεῖν εὐσεβείᾳ; Ἀπεστάλην, φῄς, τὸν λαὸν ἀποκαταστῆσαι τῇ πατρίδι. Ποίᾳ πατρίδι; Ἣν οἰκοῦντες ἐμίαινον κνίσαις, δαίμοσι θύοντες, καὶ εἰδωλομανίαις· οὐ ταῦτα κατηγορεῖ λέγων Ἱερεμίας· «Κατὰ ἀριθμὸν τῶν πόλεών σου ἦσαν οἱ θεοί σου, Ἰούδα· καὶ κατὰ τὰ ἄμφοδα Ἱερουσαλὴμ ἔθυες τῷ Βάαλ»· μυρίοις τότε παρὰ Θεοῦ περιεκλύζοντο ἀγαθοῖς, καὶ τῆς κακίας καὶ ἀσεβείας οὐκ ἀνεχώρουν· μυρία νῦν ὑπομένουσι κακά, καὶ τοῦ Θεοῦ οὐκ ἀφίστανται. Τί ποτ' οὖν ἔσται τὸ τῆς ἐπανόδου κέρδος; Ἦν τοίνυν ἡ ἀντίστασις οὐ κακοῦ πρὸς ἀγαθόν· οὐ γὰρ εἶπεν, ἐμάχετο, ἀλλ' ἀνθίστατο· καὶ γάρ ἔστι πολλάκις ἀντίστασις δικαίου πρὸς ἀγαθόν, ὡς ἀνθίσταται πολλάκις νόμῳ φιλανθρωπία, καὶ φιλανθρωπίᾳ νόμος. Ὁ νόμος τὸν ἁμαρτήσαντα κολάζει. Φιλανθρωπία, πολλάκις βασιλέως τὸν ἁμαρτήσαντα ἐλεεῖ, καὶ ἐξαρπάζει

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 61

τῆς τιμωρίας. Ὥδ᾽ οὖν ἡ μάχη οὐκ ἐναντίου πρὸς ἐναντίον, ἀλλὰ συγγενοῦς πρὸς συγγενές. οὔτε γὰρ τὸ δίκαιον ἔξω ἀγαθότητος, οὔτε τὸ ἀγαθὸν ἔξω δικαιοσύνης εὑρίσκεται. Ὅτι τῆς κτίσεως, φησίν, ὡς προείρηται διακειμένηςκαὶ ἀγανακτούσης, ἐφ᾽ ᾧ καὶ ἄκουσα τῷ παραβάτῃ παρεῖχε τὴν χρείαν, καὶ ἐξυπηρέτει, καὶ ἀγγέλων ἀχθομένων ἐπὶ τῇ τοῦ εὐεργετουμένου ἀγνωμοσύνῃ, καὶ ὅλου κακωθέντος τοῦ κόσμου διὰ τὰς παρανομίας. «Καὶ γάρ εἶδεν, φησίν, ὁ Θεὸς τὴν γῆν, καὶ ἦν κατεφθαρμένη, ὅτι κατέφθειρεν πᾶσα σὰρξ τὴν ὁδὸν αὐτῆς». Οὐκ ἦν ἡ κτίσις, οἵαν ὑπέστησεν αὐτὴν ὁ Θεὸς ἀπ᾽ ἀρχῆς· οὐκ ἦν τοῖς ἄστροις ὁ οὐρανός, ὡς τὸ πρίν, ἄνευ τινὸς μιάσματος καταλαμπόμενος· οὐκ ἦν ἡ γῆ τοὺς καρποὺς ἀμολύντους, ὡς τὸ πρίν, ἀναδιδοῦσα· οὐ θάλασσα, οὐκ ἄλλο τι τῶν ἐν τῇ κτίσει. Ὁ γὰρ παραβάτης εἰσελθὼν ἐν αὐτῇ, κατεμίαινεν καὶ ἀνεθόλωσεν ἅπαντα ταῖς βλασφημίαις, ταῖς θεομάχοις καὶ αἰσχραῖς φωναῖς, ταῖς μιαιφονίαις τὴν γῆν· τοῖς πειραταῖς καὶ λῃσταῖς τὴν θάλασσαν· τὰς πηγὰς καὶ ποταμοὺς ταῖς εἰδωλολατρίαις, νύμφαις, καὶ δαίμοσιν ἀνάπτοντες αὐτά· πᾶσα τοῖς ἀνθρώποις ἡ κτίσις εἰς θεοὺς ἀνεπλάττετο· οὐδὲν δὲ κτίσιν οὕτω μιαίνει καὶ κιβδηλεύει ὡς τὸ θεοποιεῖσθαι αὐτήν. Εἰσῆλθεν ὁ Σωτὴρ τοῦ κόσμου διὰ σαρκὸς ἐν αὐτῇ, καὶ ταύτην τῶν μυρίων τούτων ἀπαλλάξας μιασμάτων ἀνεκαίνισεν, πολὺ χαλεπωτέρων ἢ σωματικῆς διαφθορᾶς ἐλευθερώσας αὐτὴν κακώσεων καὶ παθῶν, ἀνακαινίζει διὰ τῆς πρώτης παρουσίας τὴν κτίσιν· ἵνα μάθῃς, ὅτι αὐτός ἐστιν ὁ καὶ ἀπ᾽ ἀρχῆς αὐτὴν δημιουργήσας· οὐ γὰρ ἄλλου μὲν κτίζειν, ἄλλου δὲ διαφθαρεῖσαν ἀνακαινίζειν· ἀλλὰ τῆς αὐτῆς ἑκάτερον σοφίας καὶ τέχνης, ἀνακαινίζειν τὴν κτίσιν κατὰ τὴν πρώτην ἐπιδημίαν, ἵνα μηδεμία σοι χώρα καταλειφθῇ ἀπιστίας, ὡς κατὰ τὴν δευτέραν παρουσίαν οὐ καινισθήσεται, καὶ σὺ πρὸ αὐτῆς εἰς ἀφθαρσίαν, εἰς ἀπάθειαν, εἰς ἄφατον καλλονήν. Εἰ γὰρ ὅτε ἦν ἑκὼν ἐν ἀσθενείᾳ σαρκός, ἐν ὕβρεσιν, ἐν πάθεσιν ὁ Χριστό, ὅ τε πλάνος καὶ

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 62

Σαμαρείτης ἐσυκοφαντεῖτο, τὴν κτίσιν ἐκάθαρε τῶν τοσούτων καὶ τηλικούτων καὶ πολυχρονιωτάτων παθῶν καὶ μιασμάτων· ὅταν ὡς κριτὴς ζώντων παραγένηται καὶ νεκρῶν, ὅτ᾽ ἂν μυριάσιν ἀγγέλων δορυφορούμενος τάγμασιν, ὅταν πάντων δεσπόζων καὶ Κύριος, ὅταν πάντα φρίσσῃ καὶ τρέμῃ, πῶς ἡ ἐκ φθορᾶς εἰς ἀφθαρσίαν μεταβολὴ οὐ τὸ ῥᾷστον ἔχουσα καθορᾶται; Καὶ τὸ ἀκόλουθον, καὶ θεοπρεπές ὅτι παραγίνεται ὁ Σωτήρ, προκηρυττόντων τῶν προφητῶν, ἵνα μή τις νομίσῃ ὅτι καθ᾽ ὃν τρόπον ἄνθρωπος τῆς προτέρας διαμαρτὼν ἐπιβολῆς καὶ βοηθείας ἐπὶ δευτέραν ἔρχεται, οὕτω καὶ ὁ Θεός. Ἵνα οὖν μή τις ὑπονοήσῃ τοῦτο, ἄνωθεν προέλεγον οἱ προφῆται τὴν παρουσίαν αὐτοῦ· ἵνα δείξωσιν, ὅτι Θεὸς οὐ σκεπτόμενος εὑρίσκει τὸ συμφέρον, ἀλλ᾽ ἀπ᾽ ἀρχῆς προΐδεν ἅπαντα. Ἡμεῖς μὲν γὰρ οἱ ἄνθρωποι σκεπτόμεθα, καὶ, ἐὰν ἀποτύχωμεν τῆς πρώτης πείρας, ἐφ᾽ ἑτέραν μεταβαίνομεν· ὁ δὲ Θεὸς οὐχ οὕτως· ἀλλ᾽ ἔδωκε νόμον, προφήτας, καὶ μετὰ ταῦτα τὸ Εὐαγγέλιον, οὐ χρόνῳ τὸ συμφέρον μεταμαθών, ἀπ᾽ ἀρχῆς δὲ εἰδώς, ὡς οὐχ οἷόν τε ἄλλως ἦν τὴν κτίσιν, καὶ τὸν ἐν αὐτῇ ἄνθρωπον οὔτε γενέσθαι, οὔτε παιδαγωγηθῆναι, οὔτε τὸ τῆς ἀφθαρσίας ἀξίωμα ἀναλαβεῖν· εἰ μὴ καθ᾽ ὃν τρόπον ἡ ἄφατος πρόνοια καὶ φιλανθρωπία ᾠκονόμησεν. Ὅτι, φασίν, εἰ προεῖδεν ἁμαρτήσειν τὸν Ἀδὰμ ὁ Θεός, τί καὶ προήγαγεν αὐτόν; Καὶ πολλαὶ μέν εἰσι καὶ πάγκαλοι τοῦδε τοῦ ἀπορήματος ἐπιλύσεις. Λέγει δ᾽ οὖν καὶ ὁ θεόσοφος Ἰωάννης ὁ Χρυσόστομος, «ὅτι οὐ τοῦτο μόνον φημί, ὅτι προῄδει, ἀλλ᾽ ὅτι καὶ πεσόντα ἀναστήσει αὐτὸν διὰ τῆς οἰκονομίας»· καὶ οὐ πρῶτον εἶδε τὴν πτῶσιν, εἰ μὴ προεπενόησεν τὴν ἀνάστασιν· ᾔδει, ὅτι πεσεῖται, ἀλλὰ προαπέθετο τὸ τῆς ἀναστάσεως φάρμακον, καὶ συνεχώρησεν εἰς πεῖραν ἐλθεῖν θανάτου τὸν ἄνθρωπον. Ἵνα μάθῃ τίνος μὲν ἀπολαύσει δι᾽ ἑαυτόν· τίνος δὲ τῇ τοῦ πλάσαντος χάριτι· ᾔδει πεσούμενον τὸν Ἀδάμ, ἀλλ᾽ ἔβλεπεν ἐξ αὐτοῦ προελευσόμενον τὸν Ἄβέλ, τὸν Ἐνώς, τὸν Ἐνώχ, τὸν Νῶε, τὸν

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 63

Ἠλίαν, τοὺς προφήτας, τοὺς θαυμαστοὺς ἀποστόλους, τὴν εὐγένειαν τῆς φύσεως, τὰ θεοκίνητα τῶν μαρτύρων καὶ στάζοντα τὴν εὐσέβειαν νέφη· ἔβλεπε ταῦτα, καὶ ποῦ ἦν καλόν, ποῦ δὲ δίκαιον, ποῦ δὲ θεοπρεπές, ἵνα, διότι ἔμελλεν εἷς ἄνθρωπος ἁμαρτάνειν, τοῦτον μὴ ἀναγαγεῖν ἐκ μὴ ὄντων, καὶ τοσούτων ἀνδρῶν, ὧν οὐδὲ καθ' ἕνα ἄξιος ὁ κόσμος, φοραὶν ἀνακόψαι, καὶ θερίσαι πρόῤῥιζον τὴν τοσαύτην τοῦ γένους βλάστησιν καὶ καλλονήν, καὶ κατ' αὐτῆς ἐπαφιέναι τὴν ἐκτομὴν καὶ ὀργήν, καὶ τότε τοῦ τὴν ἁμαρτίαν ὕστερον ἑλομένου οὔτε ἁμαρτόντος οὔτε ἁμαρτεῖν μεμελετηκότος, ἅτε μήπω μηδὲ ὑφεστῶτος; Εἰ γὰρ σωφρόνων ἐστὶν ἀνδρῶν, τὸ μελετήσαντα μὲν ἁμαρτῆσαι μὴ ἁμαρτήσαντα δὲ, μὴ εἰσπράττειν εὐθύνας ἁμαρτημάτων· ἧ που γε ἂν εἴη Θεοῦ, τὸν, μηδὲ μελετήσαντα ἐξαμαρτῆσαι, τὰς τῶν ἡμαρτηκότων ἀπαιτεῖν δίκας, καὶ τότε χαλεποῦ μὲν ὄντος τοῦ ἁμαρτήματος (πῶς γὰρ οὐ χαλεπὸν ἀθέτησις Δεσποτικῆς ἐντολῆς;) οὐκ ἀνιάτου δὲ ἐσομένου, τῇ ἀφάτῳ φιλανθρωπίᾳ τοῦ Πλάσαντος, καὶ τοῦ πρωτοπλάστου, εἰς τὴν ἀρχαίαν ἐπανάγεσθαι μέλλοντος εὐγένειαν· ὥστε εἰ μὴ προῆκτο, διότι ἔμελλεν ἁμαρτεῖν ὁ ἀρχέγονος, ἐδείκνυτο ἂν τὸ Θεῖον, τὸν μή ἁμαρτάνονα κολάζων, καὶ τῆς ὕστερον ἀνακλήσεως καὶ σωτηρίας ἀποστερῶν, καὶ τοσούτων ἀνδρῶν καλῶν τε καὶ ἀγαθῶν ἔρημον τὴν κτίσιν ἀποφαίνων» (Ἱεροῦ Φωτίου, Τά Ἀμφιλόχια ἤ λόγων ἱερῶν καὶ ζητημάτων ἱερολογίαι. Migne PG 101, 840B-848D).

4. *ιθ΄. «Ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχεται. Οὐχ ὁρᾶτε, φησίν, οὐρανόν, γῆν, θάλατταν, ἀέρα, ἥλιον, σελήνην, πᾶσαν τὴν ὁρωμένην κτίσιν, καὶ πρὸς τούτοις ἀόρατα, Ἀγγέλους, Ἀρχαγγέλους, Δυνάμεις, Ἐξουσίας, Κυριότητας; Ταῦτα πάντα τὴν ὑμετέραν προσμένει τελείωσιν.*

κ΄. Τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα ἐπ' ἐλπίδι. Ματαιότητα καλεῖ τὴν φθοράν. Τοῦτο γὰρ μετ' ὀλίγα διδάσκει, ὅτι καὶ αὐτὴ ἡ κτί-

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 64

σις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς. Διδάσκει δέ, ὡς πᾶσα ἡ κτίσις ἡ ὁρωμένη θνητὴν ἔλαχε φύσιν· ἐπειδήπερ τῶν ὅλων ὁ Ποιητὴς προεώρα τοῦ Ἀδάμ τὴν παράβασιν, καὶ τὴν ἐπενεχθησομένην αὐτῷ τοῦ θανάτου ψῆφον· οὐ γὰρ ἦν εἰκός, οὐδέ δίκαιον, τὰ μὲν δι' αὐτὸν γεγενημένα μεταλαχεῖν ἀφθαρσίας, αὐτὸν δέ, οὗ χάριν ταῦτα ἐπεποίητο, θνητὸν εἶναι καὶ παθητόν. Τούτου δὲ γε διὰ τῆς ἀναστάσεως τὴν ἀθανασίαν λαμβάνοντος, κἀκεῖνα ὡσαύτως μεταλαγχάνει τῆς ἀφθαρσίας. Λέγει τοίνυν, ὅτι ταύτην ἀναμένει τῶν πραγμάτων τὴν μεταβολὴν ἡ ὁρωμένη κτίσις. Τρεπτὴ γὰρ ἐγένετο, οὐχ ἑκοῦσα μέν, τοῦ δὲ δημιουργήσαντος ἀσπασαμένη τὸν ὅρον. Τὴν δὲ περὶ ἡμᾶς ὁρῶσα κηδεμονίαν, ἔχει τῆς μεταβολῆς τὴν ἐλπίδα, ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς. Τῷ δὲ τρεπτῷ τῆς κτίσεως καὶ ὁ θεῖος Δαβὶδ μαρτυρεῖ. Οὐρανοῦ γὰρ καὶ γῆς μνημονεύσας, ἐπήγαγεν· "Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμενεῖς".

κα΄. Ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται τῆς δουλείας τῆς φθορᾶς, εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ. Τούτων γὰρ δεικνυμένων ὅπερ καλοῦνται, καὶ διὰ τῆς ἀθανασίας ἀποφαινομένων υἱῶν Θεοῦ, δέξεται κἀκεῖνα πάντως τῆς φθορᾶς τὴν ἀπαλλαγήν. Ταῦτα δὲ ἔφη, οὐ λογικὴν εἶναι λέγων τὴν ὁρωμένην κτίσιν, ἀλλὰ προσωποποιίᾳ χρησάμενος. Τοῦτο γὰρ καὶ τῶν προφητῶν ἴδιον· καὶ ὁ μὲν ὀλολύζειν λέγει τὰς πίτυς, ὁ δέ γε ἀγαλιᾶσθαι τὰ ξύλα καὶ τὰ ὄρη σκιρτᾶν, καὶ τοὺς ποταμοὺς κροτεῖν.

κβ΄. Οἴδαμεν γάρ, ὅτι πᾶσα ἡ κτίσις συστενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν. Ἐνταῦθα καὶ τὴν ἀόρατον συμπεριέλαβε κτίσιν· Πᾶσα γάρ, εἶπεν, ἡ κτίσις. Εἰς ἀκριβεστέραν δὲ κατανόησιν τοῦ χωρίου, τῆς εὐαγγελικῆς ἀναμνήσω φωνῆς. Ὁ γὰρ Κύριος ἔφη, καὶ τοὺς ἀγγέλους, ἐν τοῖς οὐρανοῖς χαίρειν ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι. Εἰ δὲ χαίρουσιν ἐπὶ τοῖς μετανοοῦσιν ἁμαρτωλοῖς, καὶ ἀθυμοῦσι δηλονότι, τὰς ἡμετέρας παρανομίας ὁρῶντες» (Migne PG 82, 136-137)

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 65

5. «Τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα· ἐπ' ἐλπίδι, ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς, εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ. «Τῇ ματαιότητι,» τουτέστι, τῇ φθορᾷ, «ὑπετάγη ἡ κτίσις», ἀντὶ τοῦ, Φθαρτὴ γέγονε διὰ σὲ τὸν ἄνθρωπον. Ἐπειδὴ γὰρ σῶμα ἔλαβες θνητὸν καὶ παθητόν, διὰ τοῦτο καὶ ἡ γῆ ἀκάνθας καὶ τριβόλους ἤνεγκε, καὶ ὁ οὐρανὸς παλαιούμενος ἀλλαγῆς χρῄζει. Πῶς οὖν δι' ἕτερον φθαρτὴ γέγονε; Διότι καὶ διὰ τὸν ἄνθρωπον ὅλως ὑπέστη. Τὸ δέ, «Οὐχ ἑκοῦσα,» τοῦτο σημαίνει, ἀντὶ τοῦ, τῆς τοῦ Θεοῦ κηδεμονίας τὸ πᾶν ἐγένετο, καὶ οὐκ ἐκείνης ἐστὶ κατόρθωμα· πρὸς γὰρ σὴν ὠφέλειαν, ἵνα τὴν φθορὰν αὐτῆς ὁρῶν, καταφρονῇς αὐτῆς, καὶ πρὸς τὸν οὐρανόν ὁρᾷς. Καὶ τό, «Ἐπ' ἐλπίδι» δέ, ἀκούων, προσωποποιίας τρόπῳ ῥηθῆναι νόμιζε, καὶ πάντα τὰ ὅμοια. Καὶ αὐτὴ οὖν ἡ κτίσις ἐλευθερωθήσεται, οὐχὶ σὺ μόνος· ἀλλὰ καὶ τὸ καταδεέστερόν σου, καὶ τὸ ἄψυχον καὶ ἀναίσθητον, καὶ τοῦτο κοινωνήσει τῶν ἀγαθῶν· καὶ οὐκέτι ἔσται φθαρτή, ἀλλ' ἀκολουθήσεταί σοι. Καὶ ὥσπερ, σοῦ φθαρτοῦ γενομένου, ἐγένετο φθαρτή· οὕτως, ἀφθαρτισθέντος σου, καὶ αὐτὴ ἀφθαρτισθήσεται. Εἰ οὖν ἡ κτίσις ἔπαθε διὰ σέ, ὀφείλεις καὶ σὺ πάσχων διὰ τὸν Θεὸν ὑπομένειν· καὶ εἰ ἐκείνη ἐλπίζει δοξασθῆναι, πολλῷ μᾶλλον ὀφείλεις σύ. Ὥσπερ γὰρ τοὺς δούλους ὁ πατὴρ στολίζει εἰς δόξαν τῶν υἱῶν· οὕτω καὶ ὁ Θεὸς τὴν κτίσιν εἰς δόξαν ἡμῶν.

«Οἴδαμεν γὰρ ὅτι πᾶσα κτίσις συστενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν. Οὐ μόνον δέ, ἀλλὰ καὶ αὐτοὶ τὴν ἀπαρχὴν τοῦ Πνεύματος ἔχοντες, καὶ ἡμεῖς αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν, υἱοθεσίαν ἀπεκδεχόμενοι, ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν». Διὰ τούτων τῶν λόγων συναναγκάζει τὸν ἀκροατὴν περιφρονῆσαι τὰ παρόντα, ὡσανεὶ λέγων· Μὴ γένῃ τῆς κτίσεως χείρων, μηδ' ἐμφιλοχωρήσῃς τοῖς παροῦσιν· ἀλλὰ μᾶλλον καὶ στέναξον, ὅτι μὴ τὴν μέλλουσαν δόξαν ἤδη ἔχεις. Εἰ

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 66

γὰρ ἡ κτίσις στενάζει, πολλῷ μᾶλλον ὀφείλεις αὐτὸς τοῦτο. Ἐπάγει δέ, ὅτι «Καὶ ἡμεῖς αὐτοὶ τὴν ἀπαρχὴν τοῦ Πνεύματος ἔχοντες,» τουτέστι, τῶν μελλόντων γευσάμενοι, «στενάζομεν» διότι μὴ ἤδη αὐτά ἔχομεν. Ἐξ ὧν γὰρ ἐλάβομεν πνευματικῶν χαρισμάτων (ταῦτα γὰρ ἡ ἀπαρχή), καὶ τὰ μέλλοντα τεκμαιρόμεθα. Εἶτα, ἵνα μὴ δῷ τοῖς αἱρετικοῖς ἀφορμήν, ὅτι διὰ τὸ εἶναι πονηρὸν τὸν κόσμον, διὰ τοῦτο στενάζομεν, φησίν, ὅτι «Υἱοθεσίαν ἀπεκδεχόμενοι». Καὶ πῶς οἱ ἤδη υἱοθετηθέντες πάλιν ἑτέραν ἐκδεχόμεθα ; Ναί, φησίν, υἱοθεσίαν λέγω, οὐ τὴν διὰ βαπτίσματος (ταύτην γὰρ ἤδη ἐλάβομεν), ἀλλὰ τὴν τελείαν δόξαν τὴν ἐν ἀφθαρσίᾳ τοῦ σώματος, τοῦτο γὰρ ἡ τελεία ἀπολύτρωσις, ἐλευθερία τε καὶ ἀπαλλαγὴ τοῦ θανάτου καὶ τῶν παθῶν, ὅτε οὐκέτι μέλλομεν στραφῆναι ἀπὸ τῆς υἱοθεσίας εἰς δουλείαν τῆς ἁμαρτίας» (Migne PG 124, 448-449).

6. Ἀπὸ τὸν Ὄρθρο τῆς Μεγάλης Παρασκευῆς.

7. Ἀπὸ τὸν Ὄρθρο τῆς Μεγάλης Παρασκευῆς.

8. Δοξαστικὸν Ἀποστίχων τῆς Ἀκολουθίας τοῦ Ἑσπερινοῦ (τῆς Ἀποκαθηλώσεως) τοῦ Μεγάλου Σαββάτου.

9. *«Τότε ἐπὶ μόνῃ τῇ ὑπομονῇ (τοῦ Κυρίου) ἐθαμβήθη τὸ πᾶν· τότε οὐρανοὶ μὲν ἐσαλεύθησαν, Ἀρχαὶ ἐκινήθησαν ὑπερκόσμιοι, θρόνοι καὶ νόμοι τὸν Νοητόν Ἀρχιστράτηγον τῆς μεγάλης δυνάμεως ὁρῶντες κρεμάμενον· μικροῦ δ' ἂν ἐξέπεσον καὶ οἱ ἀστέρες τοῦ οὐρανοῦ, τὸν πρὸ ἑωσφόρου βλέποντες ἁπλούμενον·Ἐσβέσθη δὲ παρ' ὀλίγον καὶ τὸ τοῦ ἡλίου πῦρ, τὸ μέγα βλέπον τοῦ κόσμου φῶς ἀμαυρούμενον. Τότε ἐσχίσθησαν πέτραι τῆς γῆς, τοῦ Ἰσραὴλ ἀγνωμοσύνην καταβοῶσαι, ὅτι μὴ ἔγνως τὴν πέτραν τὴν πνευματικήν, ἐξ ἧς ἀκολουθήσας ἔπινες. Ἐρράγη δὲ τοῦ ναοῦ τὸ καταπέτασμα συμπάσχον καὶ μηνῦον τὸν οὐράνιον ἀληθῶς ἀρχιερέα. Μικροῦ δ' ἄν ὅλος ὁ κόσμος συνεχύθη, καὶ τῷ φόβῳ τοῦ πάθους συνεστάλη»* (Ἰωάννου Χρυσοστόμου, Στὸν στ΄ λόγο τοῦ Πάσχα, Migne P.G. 59,744).

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 67

10. Δοξαστικὸν τῶν Ἀποστίχων τῆς Ἀκολουθίας τοῦ Ὄρθρου τῆς Μεγάλης Παρασκευῆς (τῶν Ἀχράντων Παθῶν).

11. *«Καὶ εἶπεν ὁ Θεός· ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν, τοῦ γινώσκειν καλὸν καὶ πονηρόν· καὶ νῦν μή ποτε ἐκτείνῃ τὴν χεῖρα αὐτοῦ καὶ λάβῃ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς καὶ φάγῃ καὶ ζήσεται εἰς τὸν αἰῶνα»* (Γενέσεως γ΄ 22).

12. *«Καὶ τῇ γυναικὶ εἶπε· πληθύνων πληθυνῶ τὰς λύπας σου καὶ τὸν στεναγμόν σου· ἐν λύπαις τέξῃ τέκνα, καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. τῷ δὲ Ἀδὰμ εἶπεν· ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ᾽ αὐτοῦ ἔφαγες, ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου· ἐν λύπαις φαγῇ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου· ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι, καὶ φαγῇ τὸν χόρτον τοῦ ἀγροῦ. ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου, ἕως τοῦ ἀποστρέψαι σε εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθης, ὅτι γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ»* (Γενέσεως γ΄ 16-19).

13. *«Ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος αὐτοῦ»* (Γενέσεως η΄ 21).

14. *«Ὃ γὰρ κατεργάζομαι οὐ γινώσκω· οὐ γὰρ ὃ θέλω τοῦτο πράσσω, ἀλλ᾽ ὃ μισῶ τοῦτο ποιῶ. εἰ δὲ ὃ οὐ θέλω τοῦτο ποιῶ, σύμφημι τῷ νόμῳ ὅτι καλός. νυνὶ δὲ οὐκέτι ἐγὼ κατεργάζομαι αὐτό, ἀλλ᾽ ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία. οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοί, τοῦτ᾽ ἔστιν ἐν τῇ σαρκί μου, ἀγαθόν· τὸ γὰρ θέλειν παράκειταί μοι, τὸ δὲ κατεργάζεσθαι τὸ καλὸν οὐχ εὑρίσκω· οὐ γὰρ ὃ θέλω ποιῶ ἀγαθόν, ἀλλ᾽ ὃ οὐ θέλω κακὸν τοῦτο πράσσω. εἰ δὲ ὃ οὐ θέλω ἐγὼ τοῦτο ποιῶ, οὐκέτι ἐγὼ κατεργάζομαι αὐτό, ἀλλ᾽ ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία. εὑρίσκω ἄρα τὸν νόμον τῷ θέλοντι ἐμοὶ ποιεῖν τὸ καλόν, ὅτι ἐμοὶ τὸ κακὸν παράκειται· συνήδομαι γὰρ τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον, βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου καὶ αἰχμαλωτίζοντά με ἐν τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν*

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 68

τοῖς μέλεσί μου. Ταλαίπωρος ἐγὼ ἄνθρωπος! τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου;» (Ρωμαίους ζ΄ 15-24).

15. *«Καὶ ἔπλασεν ὁ Θεὸς ἔτι ἐκ τῆς γῆς πάντα τὰ θηρία τοῦ ἀγροῦ καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ ἤγαγεν αὐτὰ πρὸς τὸν Ἀδάμ, ἰδεῖν τὶ καλέσει αὐτά. καὶ πᾶν ὃ ἐὰν ἐκάλεσεν αὐτὸ Ἀδὰμ ψυχὴν ζῶσαν, τοῦτο ὄνομα αὐτῷ. καὶ ἐκάλεσεν Ἀδὰμ ὀνόματα πᾶσι τοῖς κτήνεσι καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ πᾶσι τοῖς θηρίοις τοῦ ἀγροῦ· τῷ δὲ Ἀδὰμ οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ»* (Γενέσεως β΄ 19-20).

16. *«Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης, εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους, διότι γνόντες τὸν Θεὸν οὐχ ὡς Θεὸν ἐδόξασαν ἢ εὐχαρίστησαν, ἀλλ᾽ ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία· φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν, καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου καὶ πετεινῶν καὶ τετραπόδων καὶ ἑρπετῶν. Διὸ καὶ παρέδωκεν αὐτοὺς ὁ Θεὸς ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν εἰς ἀκαθαρσίαν τοῦ ἀτιμάζεσθαι τὰ σώματα αὐτῶν ἐν αὐτοῖς, οἵτινες μετήλλαξαν τὴν ἀλήθειαν τοῦ Θεοῦ ἐν τῷ ψεύδει, καὶ ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα, ὅς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας· ἀμήν»* (Ρωμαίους α΄ 20-25).

17. Ἰδιόμελο τῶν Ἀποστίχων τοῦ Κατανυκτικοῦ Ἑσπερινοῦ τῆς Δ΄ Κυριακῆς τῶν Νηστειῶν.

18. Στιχηρὸν Ἰδιόμελον τοῦ Ἑσπερινοῦ τῆς Τετάρτης τῆς Ε΄ Ἑβδομάδος τῶν νηστειῶν.

19. *«α΄. Κατ᾽ εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν γεγονέναι τὸν ἄνθρωπον καὶ ἡ θεία Γραφὴ παραδέδωκε, καὶ ὁ τῆς διδασκαλίας λόγος ἠρέμα πως τοῖς φιλομαθέσιν ὑπέδειξε. Καὶ μέμνησθε πάντως, οἵ γε φιλόπονοι τῶν ἀκροατῶν, ὅπως ἡμῖν ὁ περὶ τούτων διηνύσθη λόγος, ὅτι τό, Κατ᾽ εἰκόνα, προηγουμένως εἰς τὴν τοῦ ἀνθρώπου δεσποτείαν καὶ εἰς τὴν πάν-*

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 69

των ἀρχὴν ὑπαγορεύεται· ἡ δὲ ὁμοίωσις ταύτης τῆς εἰκόνος εἰς τὴν τῶν ἀρετῶν τελείωσιν ἐκλαμβάνεται. Ἀναγκαῖον δὲ δεῖξαι, ἀδελφοί, καὶ σαφῶς παραστῆσαι, πῶς ὁ παρὰ πάντα τὰ ποιήματα τοῦ Θεοῦ μειζόνως τιμηθεὶς ὁ ἄνθρωπος ἐκ τοῦ τιμίου καὶ πρωτοτύπου κάλλους τοῦ θείου χαρακτῆρος, εἰς τὴν τῶν ἀλόγων φύσιν καὶ ὁμοιότητα κατηνέχθη. Εἰκὼν γὰρ ὢν Θεοῦ τοῦ φιλανθρώπου, ἑαυτὸν ἠμαύρωσε ταῖς κακίαις, καὶ ταῖς παρανομίαις ἤμβλυνε, καὶ ἀληθῶς Παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς. Ὅπως ἀνοήτοις κτήνεσι παρωμοιώθη ὁ ἄνθρωπος ἀναγκαῖον ἐξ αὐτῶν ἰδεῖν τῶν ἔργων, οὐχ ἵνα τὰ προλαβόντα μεμψώμεθα, ἀλλὰ ἵνα τὰ παρόντα διορθωσώμεθα. Καὶ γὰρ τὰ κατὰ τὸν Ἀδάμ ἀναγινώσκεται, καὶ πᾶσα ἡ τῶν προλαβόντων ἱστορία, οὐχ ἵνα τοὺς προλαβόντας ἐπαινέσωμεν, ἢ μεμψώμεθα, ἀλλ' ἵνα τὴν ἀρετὴν μιμησώμεθα, καὶ τὴν κακίαν ἐκκλίνωμεν. Ταῦτα δέ, φησίν, ὁ θαυμάσιος Παῦλος, ἐγράφη πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατὴντησε. Τὴν εἰκόνα τοίνυν τὴν καθ' ὁμοίωσιν Θεοῦ γενομένην ἔῤῥιψεν ὁ ἄνθρωπος πρῶτος διὰ τῆς παρακοῆς, καὶ πάτημα ἐποίησε δαιμόνων, καὶ ταῖς τῶν ἀλόγων ὁμοιώσεσιν ὕβρισε· καὶ τὸν μὲν διὰ τὸ ὠμόν καὶ τυραννικὸν τῶν τρόπων λέοντα μᾶλλον ἢ ἄνθρωπον ἐποίησε, τὸν δὲ λύκον διὰ τὸ ἁρπακτικόν εἰργάσατο. Καὶ μαρτυρεῖ ἡ Γραφή λέγουσα οὕτως· Οἱ ἄρχοντες ὑμῶν ὡς λέοντες ὠρυόμενοι, καὶ οἱ κριταὶ ὑμῶν ὡς λύκοι τῆς Ἀραβίας· λέοντας καλέσασα τοὺς ὠμοὺς καὶ τυραννικούς, λύκους δὲ τοὺς ἁρπακτικοὺς καὶ πρὸς πλεονεξίαν βλέποντας. Ὁρᾷς πῶς ὁ κατ' εἰκόνα Θεοῦ γενόμενος ἄνθρωπος εἰς τὴν τῶν ἀλόγων τάξιν κατηνέχθη; Ὅταν οὖν τυραννῇ ὁ ἄνθρωπος, προσαγορεύεται λέων· ὅταν ἁρπάζῃ, δέχεται τοῦ λύκου τὴν προσηγορίαν· ὅταν ταῖς ἀκολάστοις ἐπιθυμίαις ἐμφύρηται, καὶ δίκην ἀλόγων ἐπὶ τὰς παρανόμους πράξεις ἐκφέρηται, εὑρίσκεται πάλιν ἵππος ὁ ἄνθρωπος· Ἵπποι γὰρ, φησί, θηλυμανεῖς ἐγενήθησαν· ἕκαστος ἐπὶ τὴν γυναῖκα τοῦ πλησίον

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 70

αὐτοῦ ἐχρεμέτιζεν. Ἄλλους πάλιν ἡ κακία ἀπὸ ἀνθρώπων κύνας ἐποίησε. Κύνας, διὰ τί; Διὰ τὸ ὑλακτικόν, διὰ τὸ πάντοτε θορύβοις καὶ ταραχαῖς χαίρειν· περὶ ὧν ὁ μακάριος Δαυῒδ ἐκ προσώπου τοῦ Σωτῆρος βοᾷ διὰ τῆς προφητείας· Περιεκύκλωσάν με κύνες. Καὶ τίνες οἱ κύνες; Συναγωγὴ πονηρευομένων περιέσχον με. Ἄλλους πάλιν ἡ Γραφὴ καλεῖ χοίρους, τοὺς ἐν βόθρῳ τῶν ἀτόπων πράξεων ἐμφυρομένους· περὶ ὧν φησιν ὁ Κύριος διὰ τοῦ εὐαγγελιστοῦ· Μὴ ῥίπτετε τὰ ἅγια τοῖς κυσί, καὶ τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων. Ὁρᾷς πῶς ποικίλος ὁ ἄνθρωπος, καὶ πῶς ἡ εἰκὼν ἐκείνη ἡ καθ' ὁμοίωσιν Θεοῦ γενομένη κατηνέχθη πρὸς τὴν τῶν ἀλόγων ὁμοιότητα, οὐκ ἄλλου τινὸς βιασαμένου, ἀλλὰ τοῦ ἀνθρώπου ἑαυτὸν ῥίψαντος; Ἡ γὰρ Γραφὴ οὐ τῇ ἀνάγκῃ τὴν παράβασιν ἐπέγραψεν, ἀλλὰ τῇ προαιρέσει τοῦ τιμηθέντος, καὶ τὴν τιμὴν ἀγνοήσαντος· Ἄνθρωπος γάρ, φησίν, ἐν τιμῇ ὤν, οὐ συνῆκε. Φέρε πάλιν, εἰ δοκεῖ, σκοπήσωμεν ὡς αὖθις ἑτέρους τινὰς ἡ Γραφὴ διὰ τὸ ποικίλον καὶ πανηγυρικὸν καὶ ὑποκρίσεως γέμον τῆς γνώμης ἐπάγγελμα ἀλώπεκας ὀνομάζει. Διὰ τοῦτο γοῦν τὸν Ἡρῴδην ποικίλον ὄντα ταῖς γνώμαις, καὶ πανοῦργον ταῖς ἐνθυμήσεσι, καὶ ἀσεβείᾳ συζῶντα, εὐσεβείᾳ συσχηματιζόμενον, ὁ Σωτὴρ ἀλώπεκα προσαγορεύει. Ἐλθόντων γὰρ τινων, καὶ ἀπαγγελλόντων αὐτῷ, ὅτι Βούλεται σὲ ἰδεῖν Ἡρῴδης, ἡ ἁγία καὶ μεγάλη φωνὴ ἀποκριθεῖσα φησιν· Εἴπατε τῇ ἀλώπεκι ταύτῃ, Σήμερον καὶ αὔριον ποιῶ σημεῖα, καὶ τῇ τρίτῃ τελειοῦμαι. Εἴπατε τῇ ἀλώπεκι ταύτῃ ἀντὶ τοῦ, τῇ πεπανουργευμένῃ ψυχῇ, τῇ γεμούσῃ δόλου, καὶ πάσης πονηρίας καὶ ῥᾳδιουργίας. Ἔγνως, ἀδελφέ, πῶς καλεῖ τοὺς πανούργους ἡ Γραφὴ ἀλώπεκας; Ὅταν τοίνυν λέγῃς μετὰ τοῦ Ψαλμῳδοῦ, Εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς, μερίδες ἀλωπέκων ἔσονται, νόησον τὸ αἴνιγμα, καὶ μὴ ὑπολάβῃς τὸ αἴνιγμα εἰ μὴ εἰς θεωρίαν ἐκλαμβάνεσθαι. Καὶ πάλιν ἀλλαχοῦ ἔφη. Μερίδες ὑποκριτῶν ἔσονται. Οἱ γὰρ τὴν ἀλήθειαν ἀγνοοῦντες, οὐ μετὰ τῶν πιστῶν, ἀλλὰ μετὰ τῶν ὑποκριτῶν τὸ

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 71

μέρος λαμβάνουσιν. Ὅθεν καὶ ὁ Σωτὴρ τὴν ἔννοιαν ταύτην ἐπισφραγίζων φησὶ περὶ τοῦ κακῶς οἰκονομήσαντος· Εἰσελεύσεται ὁ δεσπότης τοῦ οἰκέτου ἐκείνου, καὶ διχοτομήσει αὐτόν, καὶ τὸ μέρος αὐτοῦ κατὰ τῶν ὑποκριτῶν θήσει. Τοὺς τοίνυν ὑποκριτὰς ἀλώπεκας ἐκάλεσεν ἡ Γραφή. Εἰς τοσαύτας οὖν, ἀδελφοί, ἀπρεπεῖς κατηνέχθη μορφὰς καὶ ὁμοιώσεις ἡ εἰκὼν τοῦ Θεοῦ, ὥστε οὐδὲν ἕτερον ὀνομάζει ἡ Γραφὴ τὴν οἰκουμένην ἅπασαν, πρὶν ἐπιλάμψῃ αὐτῇ ἡ γνῶσις τῆς εὐσεβείας, ἢ ἄλογα, καὶ κτήνη, καὶ ἑρπετά, καὶ θῆρας ἀγρίους. Ἀμέλει γοῦν καὶ τὸν κορυφαῖον τῶν ἀποστόλων Πέτρον βουληθεὶς ὁ φιλάνθρωπος Θεός, δυσωπῆσαι, ὥστε πάντας δέχεσθαι τοὺς ἐκ τῶν ἀλλοφύλων προσιόντας, τὴν θαυμασίαν ἐκείνην καὶ ξένην ἔδειξε σινδόνα καθιεμένην ἐκ τοῦ οὐρανοῦ ἐν τέτταρσιν ἀρχαῖς, ἐν ᾗ ὑπῆρχε πάντα τὰ τετράποδα τῆς γῆς, καὶ τὰ πετεινά τοῦ οὐρανοῦ, καὶ τὰ θηρία καὶ ἑρπετά· καὶ φησι πρὸς αὐτόν· Ἀναστάς, Πέτρε, θῦσον καὶ φάγε. Ὁ δὲ ἀπόστολος ἔφη· Μηδαμῶς, Κύριε· οὐδέποτε γὰρ ἔφαγον πᾶν κοινόν, καὶ ἀκάθαρτον. Ἀγνοήσας γὰρ τῆς εἰκόνος τὸ αἴνιγμα ὁ Πέτρος, καὶ νομίσας αἰσθητὰ εἶναι τὰ ὁρώμενα, ἀπαγορεύει τὴν βρῶσιν, τὴν Ἰουδαϊκὴν φυλάττων συνήθειαν, καὶ φησι, Μηδαμῶς, Κύριε· οὐδέποτε γὰρ ἔφαγον πᾶν κοινόν, ἢ ἀκάθαρτον. Ὁ δὲ Κύριος ἔφη πρὸς αὐτόν. Ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου. Ταῦτα τοίνυν διελέγετο ὁ Σωτὴρ τῷ ἀποστόλῳ περὶ τῶν τετραπόδων τῶν φαινομένων, καὶ τῶν θηρίων καὶ τῶν πετεινῶν· ὁ δὲ ἀπόστολος τοῦ Χριστοῦ Πέτρος ἐνόησε μετὰ ταῦτα, ὅτι οὐ τὰ πετεινά καὶ τὰ θηρία ᾐνίξατο ὁ Σωτὴρ διὰ τῆς ὀθόνης, ἀλλὰ τὰ ἔθνη πάντα, καὶ φησὶ τῷ Κορνηλίῳ, διαλεγόμενος αὐτῷ· Ὑμεῖς ἐπίστασθε, ὅτι ἀθέμιτόν ἐστιν ἀνδρὶ Ἰουδαίῳ κολλᾶσθαί τινι ἀλλοφύλῳ · ὁ δὲ Θεὸς ἔδειξέ μοι μηδενὰ κοινόν ἢ ἀκάθαρτον λέγειν ἄνθρωπον.

Ἔμαθες, ἀδελφέ, ὅπως διαφόρως ταῖς τῶν ἀλόγων προσηγορίαις ὑβρίσθημεν; Ὅταν πάλιν ἀναγνῷς ἐν τῷ προφήτῃ Ἡσαΐᾳ, Τότε συμβοσκηθήσεται λύκος μετὰ ἀρνοῦ, καὶ

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 72

πάρδαλις συναναπαύσεται ἐρίφῳ, καὶ λέων καὶ βοῦς ἅμα βοσκηθήσονται, καὶ ἅμα ἄχυρα φάγονται· νόησον τὸ αἴνιγμα, καὶ ἔκλαβε σαφῶς τὴν θεωρίαν, ὅτι οὐ τῶν ἀλόγων θηρίων σύνοδον μηνύει, ἀλλὰ τὴν τῶν ἀνθρώπων κοινωνίαν, καὶ τὴν διὰ τῆς χάριτος ἐπιλάμψασαν τὴν σωτηρίαν πᾶσιν ἀνθρώποις. Ὅταν γὰρ ἴδῃς ἐν ἐκκλησίᾳ πένητα πλουσίῳ συμπαρεστῶτα, ἰδιώτην ἄρχοντι, εὐτελῆ τῷ ὑπερέχοντι, τὸν ἔξω τρέμοντα τὴν δυναστείαν, νόησον τί ἐστι τό, Συμβοσκηθήσεται λύκος μετὰ ἀρνοῦ. Λύκον τοίνυν καλεῖ τὸν πλούσιον, ἀρνίον δὲ τὸν πτωχόν. Καὶ πόθεν τοῦτο; Ὅτι κοινωνήσει λύκος ἀρνίῳ, ὅν τρόπον πλούσιος μετὰ πτωχοῦ. Καὶ πρόσεχε ἀκριβῶς· ἔστηκε πολλάκις πλούσιος καὶ πένης ἐν ἐκκλησίᾳ· κατέλαβέ σε ὥρα τῶν μυστηρίων· ἐξωθεῖται ὁ πλούσιος ὡς ἀμύητος, ἵσταται δὲ ὁ πένης ἐντὸς τῶν οὐρανίων σκηνῶν· καὶ οὐκ ἀγανακτεῖ ὁ πλούσιος· οἶδε γὰρ ἑαυτὸν ἀλλότριον τῶν θείων μυστηρίων. Ἀλλ', ὦ τῆς θείας χάριτος! οὐ μόνον ὁμοτιμία ὑπάρχει ἐν τῇ ἐκκλησίᾳ διὰ τὴν τοῦ Θεοῦ χάριν, ἀλλὰ καὶ ἡνίκα ἵστανται, πολλάκις ὁ πένης τὸν πλούσιον πρωτεύει ἐν τῇ εὐσεβείᾳ· καὶ οὐδὲν ὁ πλοῦτος ὤνησε τὸν ἔχοντα ἐκ τῆς εὐσεβείας, οὐδὲ πενία τὸν πιστὸν ἐζημίωσε, περιστῶσα αὐτὸν μετὰ θάρσους τῷ ἁγίῳ θυσιαστηρίῳ.

β΄. Ταῦτα δὲ λέγω, ἀγαπητοί, περὶ τῶν κατηχουμένων, καὶ οὐ περὶ τῶν ἁπλῶς πλουσίων. Ἐννόησον, ἀδελφέ, πῶς ὑποχωρεῖ τῆς ἐκκλησίας πολλάκις δεσπότης, καὶ προσεδρεύει τοῖς μυστηρίοις πιστὸς οἰκέτης· ἀναχωρεῖ ἡ δέσποινα, καὶ μένει ἡ θεράπαινα· Πρόσωπον γὰρ ἀνθρώπου Θεὸς οὐ λαμβάνει. Οὐκ ἔστι τοίνυν ἐν τῇ Ἐκκλησίᾳ δοῦλος καὶ ἐλεύθερος, ἀλλ' ἐκεῖνον οἶδεν ἡ Γραφὴ δοῦλον, τὸν τὴν ἁμαρτίαν δεδουλωμένον. Ὁ γὰρ ποιῶν, φησί, τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας. Καὶ ἐκεῖνον οἶδεν ἐλεύθερον, τὸν ὑπὸ τῆς θείας χάριτος ἠλευθερωμένον. Ὁ γὰρ νόμος, φησί, τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας. Ἐπεὶ οὖν ἡ εἰκὼν αὕτη διαφόρως, ὡς

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 73

ἔφθημεν εἰπόντες, ἔφθαρτο καὶ διελέλυτο, ἦλθεν ὁ Σωτήρ, καὶ τὴν ἰδίαν εἰκόνα πάλιν ἀνέστησε, καὶ ἣν κατέσπασεν ὁ διάβολος, ταύτην ἐφόρεσεν ὁ Δημιουργός, ἄνθρωπος γενόμενος, ὁ φιλάνθρωπος, οὐ τὴν ἀξίαν ὑβρίζων, ἀλλὰ τὴν φιλανθρωπίαν ὁρίζων. Ὅθεν τοῦτο τὸ θεῖον καὶ ξένον ἔνδυμα ὁ μακάριος Δαυῒδ προαναφωνῶν ἔλεγεν· Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. Οὐ τῇ ἀνάρχῳ καὶ ἀσωμάτῳ Θεότητι ἔνδυμα δίδοται (οὐδὲν γὰρ εὐπρεπέστερον Θεοῦ, ἵνα Θεὸς εὐπρέπειαν ἐνδύσηται), ἀλλὰ τῇ ἀνθρωπίνῃ φύσει. Ἡμεῖς γὰρ οἱ ἄνθρωποι τὰ ἀσχήμονα τῶν μελῶν τῇ εὐπρεπείᾳ τῶν ἐνδυμάτων καλύπτομεν· ὁ δὲ Θεὸς ἁπλοῦς ὤν, καὶ ἀσχημάτιστος, καὶ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον, ποίας εὐπρεπείας δεέται, ἢ ποῖον ἔνδυμα περιβάλλεται; Ἢ δῆλον ὅτι τοῦ σώματος ἀνάληψιν ὁ προφήτης ὠνόμασεν εὐπρέπειαν. Καλεῖ δὲ καὶ τὴν οἰκείαν σάρκα εὐπρέπειαν, οὐ διὰ τὴν τοῦ σώματος φύσιν, ἀλλὰ διὰ τὴν τῶν ἀρετῶν κατόρθωσιν. Διὰ τοῦτο εὐπρεπὲς τὸ σῶμα τοῦ Κυρίου, οὐκ ἐπειδὴ σῶμα ἦν μόνον, ἀλλ' Ἐπειδὴ ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ δόλος εὑρέθη ἐν τῷ στόματι αὐτοῦ. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. Οὕτω καὶ Ἡσαΐας φησίν, ὅτι Πάντας ἀνθρώπους ἐνδύσει, καὶ περιθήσει ὡς κόσμον νύμφης. Ἐνεδύσατο Κύριος δύναμιν, καὶ περιεζώσατο· καί, Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρὸν σου, δυνατέ, καὶ τὰ ἑξῆς. Καὶ ταῦται ὥσπερ ὁπλίτην τινὰ δείκνυσι τὸν βασιλέα Χριστόν, ὅπλα τινὰ τοῦ γηΐνου σώματος ἐνδυόμενον· καὶ εἰκότως γηΐνου. Οὐ γὰρ ὁμοίως τοῖς ἀνθρώποις ὁπλίζεται· καὶ ὅπως, ἄκουε. Ἡμεῖς ἄνθρωποι ὅτε πολλάκις ὁπλιζόμεθα, τὸ ἀσθενὲς φυλάττομεν ὑπὸ τοῦ ἰσχυροῦ· ὁ Θεὸς ὢν ἰσχυρός, καὶ κραταιός, καὶ δυνατός, τὸ γήϊνον καὶ ἀσθενὲς περιβάλλεται σῶμα, οὐχ ὑβρίζων τὴν ἀξίαν, ἀλλὰ διὰ τοῦ ἀσθενοῦς τὸ ὑπερβάλλον τῆς δυνάμεως ἐνδεικνύμενος· ὡς ἔλεγεν, ἱκετευόντος αὐτὸν τοῦ Παύλου· ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. Ὅθεν καὶ ὁ γενναῖος οὗτος Ἀπόστολος κα-

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 74

λῶς νοήσας τὰ πρὸς αὐτὸν εἰρημένα, φησί που Κορινθίοις ἐπιστέλλων, ὅτι τὸ ἀσθενές τοῦ Θεοῦ ἰσχυρότερον τῶν ἀνθρώπων ἐστίν. Ἐνεδύσατο Κύριος δύναμιν· τουτέστι, διὰ τῆς σαρκός ἀναλάμψασαν οἰκονομίαν. Τί γὰρ ἐκείνης τῆς τιμίας καὶ ἁγίας σαρκὸς δυνατώτερον; τί δὲ ἰσχυρότερον; Διὰ γὰρ σώματος τοὺς ἀσωμάτους καὶ πονηροὺς δαίμονας κατηγωνίσατο, καὶ διὰ σταυροῦ τὰς ἀντικειμένας δυνάμεις ἐθριάμβευσε. Πρόσεχε ἀκριβῶς· τὸ περιζωσθῆναι, περιγραφῆναι σημαίνει. Ἐπεὶ οὖν ἡ ἁγία καὶ ἀπερίγραπτος φύσις ἔδοξεν ἐν τῷ σώματι περιγράφεσθαι, οὐ περιγραφεῖσα μὲν κατὰ τὴν ἰδίαν φύσιν, περιγεγράφθαι δὲ νομισθεῖσα κατὰ τὴν φαινομένην ὄψιν, εἰκότως ἔλεγεν· Ἐνεδύσατο Κύριος δύναμιν, καὶ περιεζώσατο. Καὶ τί τὸ ἐπαγόμενο; Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. Ἐπεὶ οὖν τὰ πρῶτα ἐσάλευσε τὴν οἰκουμένην ἡ ἁμαρτία, ἐλθὼν ὁ Σωτὴρ ἔπηξε τὸν σταυρόν, καὶ ἐστερέωσε τὴν οἰκουμένην. Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. Καὶ ὁ Παῦλος· Ὁ μέντοι στερεὸς θεμέλιος ἕστηκεν ἔχων τὴν σφραγῖδα ταύτην. Δύο οὖν ῥήματα ἐξήνεγκεν ὁ Δεσπότης. Ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. Οὐκ ἐχρήσατο πολλῇ περιόδῳ λόγων· οὐκ εἶπε· Στερεῶ τὴν Ἐκκλησίαν, καὶ οὔτε βασιλεῖς, οὔτε ἄρχοντες, οὔτε τύραννοι, οὔτε δήμιοι, οὔτε σοφοί, οὔτε ἄγροικοι, οὔτε ῥήτορες παριγενήσονται τῆς Ἐκκλησίας· ἄμαχος γὰρ καὶ ἀκαταγώνιστος ἡ βασιλεία Χριστοῦ· ἀλλὰ τῷ ῥήματι τὴν δύναμιν ἐσήμανε, καὶ ψιλῇ λέξει τὴν ἐπαγγελίαν ὠχύρωσεν. Ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. Δύο ῥήματα, οὐ ψιλὰ ῥήματα, ἀλλὰ Θεοῦ ῥήματα. Ὁ γὰρ ῥήματι τὸν οὐρανὸν στερεώσας, καὶ τὴν γῆν θεμελιώσας ῥήματι, καὶ τὴν Ἐκκλησίαν ᾠκοδόμησε· καὶ ἐτείχισε, καὶ ἐστερέωσε οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. Προσπέσωμεν τοίνυν, ἀγαπητοί, τῷ τὴν οἰκου-

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 75

μένην στερεώσαντι, καὶ κλαύσωμεν, καὶ ἐκδυσωπήσωμεν, ἵνα διὰ τῆς αὐτοῦ φιλανθρωπίας καὶ ἀφάτου δυνάμεως ἑδραῖοι καὶ ἀμετακίνητοι ἐπὶ τὸν ἄσειστον καὶ ἀῤῥαγῆ θεμέλιον μείναντες, αὐτῷ τὴν δόξαν ἀναπέμπωμεν καὶ τὴν εὐχαριστίαν πάντοτε, ἅμα τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν» (Ἰωάννου Χρυσοστόμου, Ἀπόδειξι ὅτι τὴν εἰκόνα τὴν καθ' ὁμοίωσιν Θεοῦ γενομένην ἔρριψεν ὁ ἄνθρωπος πρῶτος διὰ τῆς παρακοῆς· διὰ δὲ τοῦ νέου Ἀδάμ πάλιν αὐτὴν ἀπέλαβεν" PG 56, 522-526).

20. *«Ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως»* (πρὸς Κολοσσαεῖς α΄ 15).

21. *«Ἐν οἷς ὁ θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς τὸν φωτισμὸν τοῦ εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ, ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ»* (πρὸς Κορινθίους Β΄ δ΄ 4).

22. *«Καὶ λέγει αὐτοῖς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὀψίας γενομένης· Διέλθωμεν εἰς τὸ πέραν. καὶ ἀφέντες τὸν ὄχλον παραλαμβάνουσιν αὐτὸν ὡς ἦν ἐν τῷ πλοίῳ· καὶ ἄλλα δὲ πλοῖα ἦν μετ' αὐτοῦ. καὶ γίνεται λαῖλαψ ἀνέμου μεγάλη, τὰ δὲ κύματα ἐπέβαλλεν εἰς τὸ πλοῖον, ὥστε ἤδη αὐτὸ βυθίζεσθαι. καὶ ἦν αὐτὸς ἐπὶ τῇ πρύμνῃ ἐπὶ τὸ προσκεφάλαιον καθεύδων· καὶ διεγείρουσιν αὐτὸν καὶ λέγουσιν αὐτῷ· Διδάσκαλε, οὐ μέλει σοι ὅτι ἀπολλύμεθα; καὶ διεγερθεὶς ἐπετίμησε τῷ ἀνέμῳ καὶ εἶπε τῇ θαλάσσῃ· Σιώπα, πεφίμωσο. καὶ ἐκόπασεν ὁ ἄνεμος, καὶ ἐγένετο γαλήνη μεγάλη. καὶ εἶπεν αὐτοῖς· Τί δειλοί ἐστε οὕτω; πῶς οὐκ ἔχετε πίστιν; καὶ ἐφοβήθησαν φόβον μέγαν καὶ ἔλεγον πρὸς ἀλλήλους· Τίς ἄρα οὗτός ἐστιν, ὅτι καὶ ὁ ἄνεμος καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ;»* (Μάρκου δ΄ 35-40).

23. *«Διὰ τοῦτό με ὁ πατὴρ ἀγαπᾷ, ὅτι ἐγὼ τίθημι τὴν ψυχήν μου, ἵνα πάλιν λάβω αὐτήν. οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ, ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ· ἐξουσίαν ἔχω θεῖναι αὐτήν, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν· ταύτην τὴν ἐντολὴν ἔλαβον παρὰ τοῦ πατρός μου»* (Ἰωάννου ι΄ 17-18).

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 76

24. «*Τοιοῦτος γὰρ ἡμῖν ἔπρεπεν ἀρχιερεύς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος*» (πρὸς Ἑβραίους ζ΄ 26).

25. «*Ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστε ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις*» (πρὸς Κορινθίους Α΄ α΄ 30).

26. «*Ὅτι οὓς προέγνω, καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς*» (Πρὸς Ρωμαίους η΄ 29).

27. «*Ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου Πνεύματος*» (πρὸς Κορινθίους Β΄ γ΄ 18).

28. «*Καὶ ἐνδυσάμενοι τὸν νέον τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ᾽ εἰκόνα τοῦ κτίσαντος αὐτόν*» (πρὸς Κολλοσαεῖς γ΄ 10).

29. «*Καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσομεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου*» (πρὸς Κορινθίους Α΄ ιε΄ 49).

30. «*Ἀπεκρίθη Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστιν, καὶ τὸ γεγεννημένον ἐκ τοῦ Πνεύματος πνεῦμά ἐστι. μὴ θαυμάσῃς ὅτι εἶπόν σοι, δεῖ ὑμᾶς γεννηθῆναι ἄνωθεν. τὸ πνεῦμα ὅπου θέλει πνεῖ, καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, ἀλλ᾽ οὐκ οἶδας πόθεν ἔρχεται καὶ ποῦ ὑπάγει· οὕτως ἐστὶ πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Πνεύματος*» (Ἰωάννου γ΄ 5-8).

31. «*Οὕτω καὶ γέγραπται· ἐγένετο ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυχὴν ζῶσαν· ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν· ἀλλ᾽ οὐ πρῶτον τὸ πνευματικόν, ἀλλὰ τὸ ψυχικόν, ἔπειτα τὸ πνευματικόν. ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός, ὁ δεύτερος ἄνθρωπος ὁ Κύριος ἐξ οὐρανοῦ. οἷος ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί, καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ*

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 77

ἐπουράνιοι. καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσομεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου» (πρὸς Κορινθίους Α΄ ιε΄ 45-49).

32. *«Ὁ μὲν οὖν Κύριος μετὰ τὸ λαλῆσαι αὐτοῖς ἀνελήφθη εἰς τὸν οὐρανὸν καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ Θεοῦ»* (Μάρκου ιστ΄ 19).

33. *«Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ ἀνθρώπου ὁ ὢν ἐν τῷ οὐρανῷ»* (Ἰωάννου γ΄ 13).

34. *«Εἰ γὰρ πιστεύομεν ὅτι Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτω καὶ ὁ Θεὸς τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ»* (πρὸς Θεσσαλονικεῖς Α΄ δ΄ 14).

35. *«Καὶ ἐὰν πορευθῶ καὶ ἑτοιμάσω ὑμῖν τόπον, πάλιν ἔρχομαι καὶ παραλήψομαι ὑμᾶς πρὸς ἐμαυτόν, ἵνα ὅπου εἰμὶ ἐγώ, καὶ ὑμεῖς ἦτε»* (Ἰωάννου ιδ΄ 3).

36. *«Ἐξήγαγέ σε ὁ ἐχθρὸς ἀπὸ γῆς παραδείσου· ἀποκαθιστῶ σε οὐκέτι ἐν παραδείσῳ, ἀλλ᾽ ἐν οὐρανίῳ θρόνῳ. Ἐκώλυσά σε τοῦ ξύλου τοῦ τυπικοῦ τῆς ζωῆς, ἀλλ᾽ ἰδοὺ αὐτὸς ἐγὼ ἡνώθην σοι ἡ ζωή. Ἔταξα τὰ χερουβὶμ δουλοπρεπῶς φυλάττειν σε· ποιῶ τὰ χερουβὶμ θεοπρεπῶς προσκυνῆσαί σε. Ἐκρύβης ἀπὸ Θεοῦ ὡς γυμνός· ἀλλ᾽ ἰδοὺ ἔκρυψας ἐν ἑαυτῷ Θεὸν γυμνόν. Ἐνεδύθης τὸν τῆς αἰσχύνης δερμάτινον χιτῶνα· ἀλλ᾽ ἐνεδύθην Θεὸς ὢν τὸν τῆς σῆς σαρκὸς αἱμάτινον χιτῶνα. Διὸ ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν, ἀπὸ τοῦ θανάτου εἰς τὴν ζωήν, ἀπὸ τῆς φθορᾶς εἰς ἀφθαρσίαν, ἀπὸ τοῦ σκότους εἰς τὸ αἰώνιον φῶς. Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν, ἀπὸ τῆς ὀδύνης εἰς εὐφροσύνην, ἀπὸ δουλείας εἰς ἐλευθερίαν, ἀπὸ φυλακῆς εἰς τὴν ἄνω Ἱερουσαλήμ, ἀπὸ τῶν δεσμῶν ἐπὶ τὴν ἄνεσιν, ἀπὸ τῆς κατοχῆς ἐπὶ τὴν τοῦ παραδείσου τρυφήν, ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανόν.*

Ἐπὶ τοῦτο γὰρ ἀπέθανον, καὶ ἀνέστην, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσω. Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν· ὁ γὰρ Πατήρ μου ὁ οὐράνιος τὸ ἀπολωλὸς ἐκδέχεται πρόβατον.

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 78

Τὰ ἐννενήκοντα ἐννέα τῶν ἀγγέλων πρόβατα τὸν συνδοῦλον ἀναμένουσιν Ἀδάμ, πότε ἀναστῇ, καὶ πότε ἀνέλθῃ καὶ πρὸς Θεὸν ἐπανέλθῃ. Χερουβικὸς θρόνος ἠὐτρέπισται· οἱ ἀναφέροντες ὀξεῖς τε καὶ ἕτοιμοι· ὁ νυμφὼν παρεσκεύασται· ἐδέσματα ἕτοιμα· αἱ αἰώνιοι σκηναὶ καὶ μοναὶ ἕτοιμοι· οἱ θησαυροὶ τῶν ἀγαθῶν ἀνεῴχθησαν, ἡ τῶν οὐρανῶν βασιλεία πρὸ αἰώνων ἡτοίμασται· ἃ ὀφθαλμὸς οὐκ οἶδεν, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἀγαθὰ τὸν ἄνθρωπον περιμένουσι» (Migne, PG 43, 464).

37. Εὐλογητάριο νεκρώσιμο τοῦ Σαββάτου τοῦ ἤχου Πλαγίου τοῦ β΄.

38. Δοξαστικὸν τῶν Αἴνων τῆς Κυριακῆς τοῦ Ἀσώτου.

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 79

epanodos-arxaio kallos-80p.qxp:Layout 1 5/2/18 9:50 AM Page 80

Ἐκδοτική Παραγωγή

ΕΠΤΑΛΟΦΟΣ Α.Β.Ε.Ε.

Ἀρδηττοῦ 12-16, 116 36 Ἀθήνα
Τηλ.: 210.921.7513, 210.921.4820 • Fax: 210.923.7033
www.eptalofos.gr • e-mail: info@eptalofos.gr